τὴν φήμην, ἀλλὰ καὶ τῆς εὐχῆς εἶναι προδόται. οἱ μὲν γὰρ,
αὐτοῖς χρήματα καὶ δόξαν καὶ φίλους ἐνεχείρισαν.
οἱ δὲ, σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης
εὐδαιμονίας κατέστησαν. εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν
στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκεῖνον ἐν τοῖς
οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχει πρὸς τοὺς
φαύλους καὶ σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ, Ἡρα
κλέα καὶ Τάνταλον γεννήσας ὡς οἱ μῦθοι λέγουσι,
καὶ πάντες πιστεύουσι, τὸν μὲν, διὰ τὴν ἀρετὴν ἀθά
νατον ἐποίησε. τὸν δὲ, διὰ τὴν κακίαν, ταῖς μεγίσταις
τιμωρίαις ἐκόλασεν. οἷς δεῖ παραδείγμασι χρωμένους,
ὀρέγεσθαι τῆς καλοκαγαθίας. καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν
εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλ
τιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν εἴ τι χρήσιμον
εἰρήκασιν, ἀναγινώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν
ὁρῶμεν, ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν,
ἀφ' ἑκάστου δὲ τὰ βέλτιστα λαμβάνουσαν, οὕτω δὴ
καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως
ἔχειν. πανταχόθεν δὲ, τὰ χρήσιμα συλλέγειν. μόλις
γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας, τὰς τῆς
φύσεως ἁμαρτίας κρατήσειεν: +